πότερον τόξου ῥῦμα τὸ νικῶν,
ἢ δορυκράνου
λόγχης ἰσχὺς κεκράτηκεν.
ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς
φάος ὁρμᾶται μήτηρ βασιλέως,
βασίλεια δ' ἐμή· προσπίτνω δή[1]),
καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν
πάντας μύθοισι προσαυδᾶν.
Ὦ βαθυζώνων ἄνασσα Περσίδων ὑπερτάτη,
μῆτερ ἡ Ξέρξου γεραιά, χαῖρε, Δαρείου γύναι,
θεοῦ μὲν εὐνήτειρα[2]) Περσῶν θεοῦ δὲ καὶ μήτηρ ἔφυς,
εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατῷ[3]).

## ΑΤΟΣΣΑ.

ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους[4]) δόμους
καὶ τὸ Δαρείου τε κἀμὸν κοινὸν εὐναστήριον[5]).
καί με καρδίαν ἀμύσσει φροντίς· ἐς δ' ὑμᾶς ἐρῶ
μῦθον, οὐδαμῶς ἐμαυτῆς οὖσ' ἀδείμαντος[6]) φίλοι,
μὴ μέγας πλοῦτος κονίσας[7]) οὖδας ἀντρέψῃ ποδὶ
ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινός.
ταῦτά μοι[8]) διπλῆς μερίμνης φραστύς[9]) ἐστιν ἐν φρεσί,
μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ μένειν[10])
μήτ' ἀχρημάτοισι λάμπειν φῶς ὅσον σθένος πάρα.
ἔστι γὰρ πλοῦτός γ' ἀμεμφής, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος.
ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν.
πρὸς τάδ' ὡς οὕτως ἐχόντων τῶνδε, σύμβουλοι λόγου
τοῦδέ μοι γίγνεσθε[11]), Περσῶν[11]) γηραλέα πιστώματα.
πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα.

[1]) V. 138. Gew. προσπιτνῶ ohne δή. M. προσπίτνω.
[2]) V. 143. Ald. εὐνάτειρα. M. εὐνήτειρα. Rob. lässt καὶ weg.
[3]) V. 144. Rob. στρατοῦ.
[4]) V. 145. Rob. χρυσεοστόλους. Andere στόλβους u. στίλβους.
[5]) V. 146. Var. κἀμοῦ — εὐνατήριον.
[6]) V. 148. Var. ἀδείματος.
[7]) V. 149. Var. κονίσσας — ἀνατρέψῃ.